ΜΕ. Τὸ ποῖον;

ΑΘ. Θεὸς εἶναι κηδόμενος ὑμῶν τις, ὃς τὰ μέλλοντα
προορῶν, δίδυμον ὑμῖν φυτεύσας τὴν τῶν βασιλέων γένεσιν
ἐκ μονογενοῦς, εἰς τὸ μέτριον μᾶλλον συνέστειλε. Καὶ μετὰ e
τοῦτο ἔτι φύσις τις ἀνθρωπίνη μεμειγμένη θείᾳ τινὶ δυνάμει,
κατιδοῦσα ὑμῶν τὴν ἀρχὴν φλεγμαίνουσαν ἔτι, μείγνυσιν τὴν
κατὰ γῆρας σώφρονα δύναμιν τῇ κατὰ γένος αὐθάδει ῥώμῃ, 692 a
τὴν τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων ἰσόψηφον εἰς τὰ μέγιστα
τῇ τῶν βασιλέων ποιήσασα δυνάμει. Ὁ δὲ τρίτος σωτὴρ
ὑμῖν ἔτι σπαργῶσαν καὶ θυμουμένην τὴν ἀρχὴν ὁρῶν, οἷον
ψάλιον ἐνέβαλεν αὐτῇ τὴν τῶν ἐφόρων δύναμιν, ἐγγὺς τῆς
κληρωτῆς ἀγαγὼν δυνάμεως· καὶ κατὰ δὴ τοῦτον τὸν λόγον
ἡ βασιλεία παρ' ὑμῖν, ἐξ ὧν ἔδει σύμμεικτος γενομένη καὶ
μέτρον ἔχουσα, σωθεῖσα αὐτὴ σωτηρίας τοῖς ἄλλοις γέγονεν
αἰτία. Ἐπεὶ ἐπί γε Τημένῳ καὶ Κρεσφόντῃ καὶ τοῖς τότε b
νομοθέταις, οἵτινες ἄρα ἦσαν νομοθετοῦντες, οὐδ' ἡ Ἀρι-
στοδήμου μερὶς ἐσώθη ποτ' ἄν — οὐ γὰρ ἱκανῶς ἦσαν νομο-
θεσίας ἔμπειροι· σχεδὸν γὰρ οὐκ ἄν ποτ' ᾠήθησαν ὅρκοις
μετριάσαι ψυχὴν νέαν, λαβοῦσαν ἀρχὴν ἐξ ἧς δυνατὸν ἦν
τυραννίδα γενέσθαι — νῦν δ' ὁ θεὸς ἔδειξεν οἵαν ἔδει καὶ
δεῖ δὴ τὴν μενοῦσαν μάλιστα ἀρχὴν γίγνεσθαι. Τὸ δὲ παρ'
ἡμῶν γιγνώσκεσθαι ταῦτα, ὅπερ εἶπον ἔμπροσθεν, νῦν μὲν c
γενόμενον οὐδὲν σοφόν — ἐκ γὰρ παραδείγματος ὁρᾶν γεγο-
νότος οὐδὲν χαλεπόν — εἰ δ' ἦν τις προορῶν τότε ταῦτα
καὶ δυνάμενος μετριάσαι τὰς ἀρχὰς καὶ μίαν ἐκ τριῶν
ποιῆσαι, τά τε νοηθέντα ἂν καλὰ τότε πάντα ἀπέσωσε καὶ
οὐκ ἄν ποτε ὁ Περσικὸς ἐπὶ τὴν Ἑλλάδα οὐδ' ἄλλος οὐδεὶς
στόλος ἂν ὥρμησε, καταφρονήσας ὡς ὄντων ἡμῶν βραχέος
ἀξίων.

ΚΛ. Ἀληθῆ λέγεις.